# 20 NOIEMBRIE
# HRISTOU KONTAZIS

# SLUJBA SF.CUVIOASE-MUCENIȚE PARASCHEVA DE LA MANDRA



## MINEIUL PE NOIEMBRIE-GR


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# Ἀκολουθία ὁσιομ. ΠΑΡΑΣΚΕΥΗΣ τῆς Ῥωμαίας, ἐν Θέρμῳ Αἰτ/νίας

## Ποίημα Χρήστου Κονταξῆ

### ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια.

Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

**Π**αρασκευὴν ἀθληφόρον καὶ παρεστῶσαν δεινοῖς, πιστοὶ Θέρμου ἐνθέως, συνελθόντες συμφώνως, τιμήσωμεν εὐσήμως ὡς ἰατρὸν ἀμισθὶ θεραπεύουσαν, ὅτι ἐκ γρίππης παμφθάρτου, βροτολοιγοῦ, θαυμαστῶς ἡμᾶς διέσωσε.

**Ε**ὐφραίνου, χόρευε, σκίρτα Θέρμου κωμόπολις, ὅτι ὡς κηδεμόνα ἀρωγὸν εὐσεβούντων, θεράπαιναν ὑγείας Παρασκευὴν θαυμαστῶς καθιέρωσας· συγκαταβᾶσα προθύμως ἐν συμφορᾷ, σῇ τὴν χάριν ἐναπέθετο.

**Τ**ῆς σωστικῆς σου προνοίας τίς διηγήσεται τὸ μέγεθος, Ὁσία, ταχεῖα προστασία, ἀπαλλάξασαν ἱκέτας σου χαλεπῶν καὶ δεινῶν περιστάσεων· ὡς κηδεμόνα καὶ θείαν ἡμῶν φρουρόν, χαρμοσύνως μακαρίσωμεν.

**Π**ολυωδύνων βασάνων σοῦ τὸ πολύαθλον, ἡτοίμασέ σοι, Μάρτυς, Θεοῦ τὴν πολιτείαν· ὡς γὰρ φιλοπονοῦσα τοὺς εὐσεβεῖς ἐν δεινοῖς συγκατένευσας, ἀποτινάξαι προθύμως ὡς ἰατρὸς, πανδημίας τὰ τοξεύματα.

Δόξα. Ἦχος δ΄.

**Σ**ήμερον εὐήκοον οὖς, τῇ τῶν πιστῶν ἱκεσίᾳ, ἐν λιτανείᾳ τὴν εἰκόνα σου περιφέροντες, ἔστησας, Παρασκευὴ ἀθληφόρε. Πᾶσαν νόσον ἀπελαύνουσα, ἐκ γρίππης ἐπηρείας ἐλυτρώσω σοὺς δούλους εἰς φιλόχριστον Θέρμον

καὶ αὖθις διέκοψας τὸν ζόφον του θανάτου ἐπὶ τῇ ἐλεύσει σου ἐκ Μάνδρας, ἔνθα ἡ ἁγία Μονή σου. Ὅθεν εὐσεβῶς δοξάζομεν, Πανεύφημε, τὴν θείαν σου συγκατάβασιν.

Καὶ νῦν. Προεόρτιον. Ἦχος δ'.

Σήμερον ὁ θεοχώρητος ναός, ἡ Θεοτόκος, ἐν Ναῷ Κυρίου προσάγεται καὶ Ζαχαρίας ταύτην ὑποδέχεται. Σήμερον τὰ τῶν Ἁγίων Ἅγια ἀγάλλονται καὶ ὁ χορὸς τῶν Ἀγγέλων μυστικῶς πανηγυρίζει· μεθ' ὧν καὶ ἡμεῖς ἑορτάζοντες σήμερον, σὺν τῷ Γαβριὴλ ἐκβοήσωμεν. Χαῖρε Κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ, ὁ ἔχων τὸ μέγα ἔλεος.

Εἰς τά Ἀπόστιχα. Ἦχος β'. Οἶκος τοῦ Ἐφραθᾶ.

Αἶνον θεοπρεπῆ τῇ σῇ Εἰσόδῳ, Μῆτερ, προσάγομεν ὑμνοῦντες, Παρασκευὴν τὴν θείαν, πιστῶν τὴν ἀντιλήπτορα.

Στίχος. *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.*

**Π**ρόμαχος ἀρραγής καὶ Μάνδρας ἡ ἱκέτις, τῷ Θέρμῳ ἀνεφάνης, Παρασκευὴ παμμάκαρ, διὸ ἀεὶ γεραίρει σε.

Στίχος. *Δίκαιος ὡς φοῖνιξ ἀνθήσει καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.*

**Ὅ**λη φωτοειδὴς ἐπέστης ἀοράτως, τὴν νόσον καταπαῦσαι, τὸ πάλαι ἐν τῷ Θέρμῳ· κώμη κροτεῖ τὴν χάριν σου.

Δόξα. Τριαδικόν.

**Ἔ**τρωσεν ἡ Τριάς, καρδίαν τῆς Ἁγίας, ἀγάπῃ ἀπεράντῳ, τὴν γρίππην ἐξαλεῖψαι καὶ κώμην ἐκλυτρώσασθαι.

Καὶ νῦν. Θεοτοκίον.

Ἄχραντε Μαριάμ, Ναῷ εἰσῳκισθεῖσα, δυσώπει τὸν Υἱόν Σου, Παρασκευῇ ἁγίᾳ ὑπὲρ τῆς κωμοπόλεως.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ Ἀπόλυσις.

# ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Μετὰ τὸν Προοιμιακόν, τὸ α΄ Κάθισμα τοῦ Ψαλτηρίου· εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ΄καὶ ψάλλομεν τῆς Ἑορτῆς ἰδιόμελα γ΄ καὶ τῆς Ἁγίας τά ἑπόμενα γ΄.

Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσι.

**Θ**ερμιωτῶν ἅπας σύλλογος, ἐκ καρδίας συντρέξωμεν, αἶνον χαριστήριον ἀναμέλποντες, Παρασκευῇ τῇ πανσώστιδι· δεινῆς γὰρ ἐρρύσατο, τὴν κωμόπολιν ἡμῶν, συμφορᾶς ἐκ τῆς μάστιγος καὶ παρέσχετο, τὴν ἐκ γρίππης ὑγείαν πλουτοδότως καὶ χαρὰν καὶ εὐφροσύνην, τοῖς κεκμηκόσι ταῖς θλίψεσιν.

**Ὡ**ς θερμὴν ἀντιλήπτορα καὶ ὑπέρμαχον ἔνθεον, Θέρμου ἡ κωμόπολις μακαρίζει σε, Παρασκευὴ, ἀπαστράπτουσα καινήν σου πανήγυριν, συγκροτοῦσα εὐκλεῶς καὶ τῆς σῆς ἀντιλήψεως τὸ ἐξαίρετον, διατόρως κηρύττει ἐκβοῶσα· Σύ μοι ἔφορος καὶ ῥύστις καὶ ἰατρὸς ἔσο, Πάνσεμνε.

**Ὡ**ς λειμὼν θεοφύτευτος, ὁ ναός σου ὁ ἅγιος ἀληθῶς, Πανύμνητε, ἀναδέδεικται, ξύλον ζωῆς τὴν εἰκόνα σου, ἐν μέσῳ τὴν ἔνθεον, κεκτημένος μυστικῶς, ζωὴν κρείττονα νέμουσαν τοῖς ἐν πάθεσι καὶ δεινοῖς ἀσθενείαις νεκρωθεῖσι καὶ πληροῦσαν εὐφροσύνης, ἅπαν τοῦ Θέρμου τὸ πλήρωμα.

Δόξα. Ἦχος δ΄.

**Σ**ήμερον δεῦτε συνελθόντες, ἀποτίσωμεν ἐνθέρμους εὐχαριστίας, ἐπὶ τῇ σωστικῇ παρεμβάσει τῆς Ὁσιομάρτυρος Παρασκευῆς, εἰς τὴν ἐκ γρίππης θανατηφόρον πανδημίαν ἐν Θέρμῳ. Ἡμῶν γὰρ μαστιζομένων, ἔτεινε χεῖρα βοηθείας τῇ λιτῇ, ἐν τῇ ἐπισκέψει αὐτῆς ἐκ τῆς ἐκ Μάνδρας ἱερᾶς Μονῆς, προσμετροῦσα τὴν τῶν πιστῶν προσμονὴν καὶ διαχέουσα τὴν χάριν τοῖς κινδυνεύουσι πρὸς ὄλεθρον. Ὅθεν γεραίρομεν εὐχαρίστως τὴν λυτρουμένην ἡμᾶς ἐκ

συμφορῶν καὶ ἱκετεύομεν ἀενάως, ἵνα σκέπῃ καὶ σώζῃ τοὺς καλοῦντας αὐτὴν εἰς βοήθειαν.

Καὶ νῦν. Προεόρτιον. Ἦχος δ'.

**Σ**ήμερον ὁ θεοχώρητος ναός...

Εἴσοδος, Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα (κεφ. μγ', 9 - 14).

Τάδε λέγει Κύριος· Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα; ἢ τὰ ἐξ ἀρχῆς τίς ἀναγγελεῖ ὑμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς, λέγει, Κύριος ὁ Θεός, καὶ ὁ παῖς μου, ὃν ἐξελεξάμην, ἵνα γνῶτε καὶ πιστεύσητε καὶ συνῆτε ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεὸς καὶ μετ' ἐμὲ οὐκ ἔσται. Ἐγὼ εἰμι ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα καὶ οὐκ ἦν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες καὶ ἐγὼ Κύριος ὁ Θεός. Ἔτι ἀπ' ἀρχῆς ἐγώ εἰμι καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτως λέγει Κύριος ὁ Θεὸς ὁ λυτρούμενος ὑμᾶς, ὁ Ἅγιος τοῦ Ἰσραήλ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (κεφ. δ', 7-15).

**Δ**ίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται· γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος τῷ Θεῷ γενόμενος ἠγαπήθη καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη. Ἡρπάγη μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ.

Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλὰ καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ, διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτο

## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (κεφ. ε' 15).

**Δ**ίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρὶῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιησει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην· καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκἀταμάχητον ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας· πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου, τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται· καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης· ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαίλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς, καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς. Ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

## Εἰς τὴν Λιτήν, Ἰδιόμελα.

### Ἦχος α'.

**Ε**ὐφραίνου ἐν Κυρίῳ ἡ τοῦ Θέρμου κωμόπολις καὶ μεγάλυνον τὰς δυναστείας Κυρίου. Ἰδοὺ γὰρ ἀρωγόν σοι προμηθῆ, παραδόξως ἀνέδειξε, Παρασκευὴν τὴν ἔνδοξον, πανδημίας σε λυτρουμένη καὶ δι'εὐπραγίας πάσης χορηγοῦσά σοι τὰ πρόσφορα· ὅθεν τὴν ἱερὰν αὐτῆς εἰκόνα, ὡς ὄλβον οὐράνιον καὶ ἰατρεῖον ζωοποιόν, κεκτημένη βόησον· σύ μου πύργος ἰσχύος καὶ προστασίας ἔπαλξις, Ὁσιομάρτυς ἀθληφόρε· διὸ γεραίρω εὐχαρίστω τὴν πρὸς ἐμὲ κηδεμονίαν σου, δι'ἧς σκέπεις καὶ σῴζεις, ἐξ ἀλλεπαλλήλων θλίψεων, τοὺς καλοῦντάς σε εἰς βοήθειαν.

### Ἦχος β'.

**Ὡ**ς θαυμαστὴ καὶ σωτήριος, ἡ πρὸς ἡμᾶς σου ἀντίληψις, ὁσιομάρτυς Παρασκευή. Τῇ τῆς γρίππης καταφορᾷ προφθάσασα ἡμᾶς διέσωσας καὶ χεῖρα βοηθείας προσέφερας· κατὰ τὴν κλῆσίν σου γὰρ Ἁγία, ἡ χάρις σου ἐκλάμπει. Διὸ πανδήμως συνελθόντες, εὐγνωμοσύνης ὕμνον σοι ᾄδομεν, εὐεργέτιν τε καὶ σκέπην ἐν παντί σε εὑράμενοι, παρὰ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν.

### Ἦχος γ'.

**Ὡ**ς ἐν ἀνάγκαις ἐπικουροῦσα τὴν πρὸς τοὺς πάσχοντάς σου ἔκδηλον, ἐποιήσω ἐπίσκεψιν. Διὸ εὐλαβοῦντες τῇ σῇ προνοίᾳ τῆς βροτοφθόρου μανίας, τῇ σῇ ἐπεμβάσει ἐρρύσθημεν. Ἀλλ, ὦ ἱερωτάτη ἀθλήτρια, ἡ τοῦ Θέρμου ἑτοιμοτάτη ἔφορος, μὴ παύσῃ περιέπουσα ἡμᾶς, τοὺς ἐπιβοωμένους σε.

### Ἦχος δ'.

**Δ**εῦτε πᾶσα τοῦ Θέρμου ἡ περίοικος, ἐν τῇ μονῇ τῆς Μάνδρας συνέλθωμεν καὶ τὸν εὐαγῆ ναὸν τῆς ἁγίας Παρασκευῆς καταλαβόντες, ἐν φωναῖς ἀλαλαγμοῦ αὐτῇ

βοήσωμεν· Σὺ εἶ ὁ φοῖνιξ ὁ ὑψικόμος, ὁ ζωοδωρήτῳ καρποφορίᾳ, τοὺς θανατηφόρους καρπούς τῶν δυσαλθῶν ἀσθενειῶν ἀποτρέπων· σὺ εἶ ἡ τὸν τοῦ Θέρμου χριστώνυμον λαόν, τῆς δεινοτάτης ἀπαλλάξασα γρίππης· ὅθεν τὰς ἀφθόνους εὐλογίας σου, Ὁσιομάρτυς, ὡς δρόσον γλυκασμοῦ οὐρανόθεν ἡμῖν ἐπόμβρησον, παρέχουσα ἑκάστῳ τὰ πρὸς σωτηρίαν αἰτήματα.

Δόξα. Ἦχος πλ. δ΄.

**Δ**εῦτε ἅπαντες πιστοί, δαυιτικῶς βοήσωμεν· θαυμαστὸς εἶ Κύριε ὁ ἐνδοξαζόμενος, ἐν ταῖς βουλαῖς τῶν Ἁγίων Σου καὶ τίς ὑμνήσει Λόγε, τῆς Σῆς μεγαλωσύνης τὸ κράτος; Διὰ πάθους γὰρ ζωήν καὶ δι᾿ἀσθενείας δύναμιν, τοῖς ἀθληταῖς Σου πρυτανεύεις. Διὸ καὶ Παρασκευὴ ἡ ἔνδοξος, ἡ τῆς εἰκόνος Σου σύμφυτος, ὑπὲρ τῆς δόξης Σου παθοῦσα, παθημάτων βαρυτάτων καὶ δεινῶν ἀσθενειῶν, ἰατρὸς ἡμῖν ὤφθη ἀπαράμιλλος. Αὐτῆς ταῖς ἱκεσίαις, Δέσποτα, σῶσον περιούσιον λαόν καὶ τῇ πόλει Σου παράσχου εἰρήνην καὶ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον. Τῆς Ἑορτῆς.

Εἰς τὸν Στίχον, στιχηρὰ Προσόμοια.
Ἦχος δ΄. Ἔδωκας σημείωσιν.

**Ε**ἴληφας πανένδοξε, παρὰ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, ἰαμάτων χαρίσματα, δι᾿ὧν φλέγεις δαίμονας καὶ διώκεις νόσους καὶ παρέχεις πᾶσι, τοῖς προσιοῦσί σε πιστῶς, τὴν εὐρωστίαν ψυχῆς καὶ σώματος· διό σου ἐν τοῖς θαύμασι, ἡ τῶν Θερμίων κωμόπολις, καυχωμένη γεραίρει σε, ἐν τῷ θείῳ τεμένει σου.

Στίχος. *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

**Ν**έοι καὶ πρεσβύτεροι, Παρασκευὴ θεοτίμητε, ἐτησίως δοξάζουσι, τὰ θεῖά σου θαύματα, ἅπερ κατειργάσω καὶ

ἤλασας τάχος, τὴν νεμομένην μανικῶς ἡμῶν τὴν κώμην γρίππην, Ἔνδοξε· ἥνπερ ἀπαύστως φύλαττε, ἀπὸ παντοίας κακώσεως, ἀσινῆ καὶ ἀλώβητον, ἐκ Μονῆς τῆς Ἁγίας σου.

Στίχος. *Τὸ ἑσπέρας αὐλισθήσεται κλαυθμός, καὶ τὸ πρωῒ ἀγαλλίασις.*

**Ἅ**παντας ἐνέπλησας, χαρᾶς ἀφάτου καὶ κρείττονος, ἀσφαλὲς καταφύγιον, ἡνίκα κατέπαυσας τὴν λοιμώδη νόσον, τοὺς πιστούς σοι Θερμίους, οἵτινες κάλλιστον ναόν σοὶ ἀνεδείμαντο ἑορτάζοντες, τὴν σὴν λαμπρὰν πανήγυριν, Παρασκευὴ, ἀνυμνοῦντές σε, ὡς οἰκείαν ὑπέρμαχον καὶ σεπτὴν ἀντιλήπτορα.

Δόξα. Ἦχος πλ. α΄.

**Ἐ**ν ᾄσμασι σαλπίσωμεν καὶ ὕμνον χαριστήριον προσάξωμεν γηθόμενοι, ὡς εὐγνωμοσύνης φόρον, τῇ ἱερᾷ ἀθληφόρῳ. Θερμίων συστήματα συντρεχέτωσαν καὶ τὴν παραδόξως τῆς λαοβόρου νόσου, προμηθείᾳ κρείττονι, ἀπαλλάξασαν ἡμᾶς ταχὺ καὶ βραβεύσασαν ὑγείαν εὐφημείτωσαν. Θέρμου ἡ περίοικος καὶ ἡ φερώνυμος Μονὴ τῆς Μάνδρας, τὴν θερμὴν ἐν προστασίαις, ἐπαξίως μακαρίσωμεν. Τῶν νοσούντων τὴν ἰατρόν, τῶν θλιβομένων τὴν σκέπην, τῶν πασχόντων προστασίαν, τῶν πταιόντων τὸν ἱλασμόν, τῶν κακουχουμένων τὴν θεραπείαν, τὴν πλουτοδότιν τῶν ἀπορούντων, τῶν καχεκτούντων τὴν εὐρωστίαν, τὴν πάντας ἁπανταχοῦ θερμῶς προφθάνουσαν, ἐγκωμιάζοντες οὕτως εἴπωμεν· φιλάγαθε Παρασκευὴ, πρόφθασον, ἐξελοῦ ἡμᾶς τῆς ἐνεστώσης ἀνάγκης καὶ σῶσον τὴν πόλιν σου, ταῖς ἱκεσίαις σου.

Καὶ νῦν. Προεόρτιον. Ἦχος δ'.

**Δ**εῦτε πάντες οἱ πιστοί, τὴν μόνην ἀμώμητον ἐγκωμιάσωμεν, τὴν ἐκ τῶν Προφητῶν προκηρυχθεῖσαν καὶ

ἐν τῷ ναῷ προσενεχθεῖσαν, τὴν πρὸ τῶν αἰώνων προορισθεῖσαν μητέρα καὶ ἐπ' ἐσχάτων τῶν χρόνων, ἀναδειχθεῖσαν Θεοτόκον· Κύριε, πρεσβείαις αὐτῆς, τὴν εἰρήνην σου παράσχου ἡμῖν καὶ τὸ μέγα ἔλεος.

Τρισάγιον καί τό Ἀπολυτίκιον.

Ἦχος α΄. Τῆς ἐρήμου πολίτης (Ἱερομονάχου Ἀθανασίου Σιμωνοπετρίτου).

**Π**αρθενίαν ἁγίαν τῷ Κυρίῳ ἐνέγκασα, εἶτα καὶ τὸ αἷμα γενναίως, δι΄ἀθλήσεως δέδωκας· διὸ καταστεφθεῖσα ἐξ Αὐτοῦ, ἰάματα πηγάζεις δαψιλῶς, τοῖς τιμῶσι σὴν εἰκόνα θαυματουργόν, ἐν Θέρμῳ, Χριστοκάρδιε· γρίππης ἐδίωξας φθοράν, σμήνη ἀκρίδος ἤλασας, καθικετεύουσα Θεόν, Παρασκευὴ πανθαύμαστε.

Δόξα. Ἕτερον. Ἦχος δ΄ . Ὁ ὑψωθείς (τοῦ αὐτοῦ).

**Θ**ερμὴν σε πρέσβιν πρὸς Φιλάνθρωπον ἔχει, Παρασκευὴ ὁσιομάρτυς τὸ Θέρμον, εἰκόνα τὴν ἁγίαν σου τιμῶν πανευλαβῶς· ὅθεν πάντας φύλαττε, τοὺς προσπίπτοντας πόθῳ, ἐκ κακῶν καὶ θλίψεων καὶ κινδύνων τοῦ βίου καὶ βασιλείαν χάρισαι Θεοῦ, ἐν ᾗ εὐφραίνῃ, ἁγία Πανθαύμαστε.

Καὶ νῦν. Προεόρτιον. Ἦχος ὁ αὐτὸς. Ταχὺ προκατάλαβε.

**Χ**αρὰν προμνηστεύεται σήμερον Ἄννα ἡμῖν, τῆς λύπης ἀντίθετον καρπὸν βλαστήσασα, τὴν μόνην Ἀειπάρθενον· ἥνπερ δὴ καὶ προσάγει, τὰς εὐχὰς ἐκπληροῦσα, σήμερον γηθομένη, τῷ Ναῷ τοῦ Κυρίου, ὡς ὄντως ναὸν τοῦ Θεοῦ Λόγου καὶ Μητέρα ἁγνήν.

Καὶ Ἀπόλυσις.

# ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα. Ἦχος α΄. Τοῦ λίθου σφραγισθέντος.

**Τ**ῶν θείων σου θαυμάτων εἰς ὀσμὴν συνδραμόντες, τῆς πνευματικῆς εὐωδίας, πληρούμεθα λιταῖς σου· σὺ γὰρ προνοεῖς ἡμῶν ἀεί καὶ σῴζουσα φυλάττεις ἐκ δεινῶν, τοὺς τῇ σκέπῃ προσιόντας σου τῇ θερμῇ, Παρασκευὴ καλλιμάρτυς· δόξα τῷ σὲ δοξάσαντι Χριστῷ, δόξα τῷ σὲ θαυμαστώσαντι, δόξα τῷ δεδωκότι σε ἡμῖν μεγίστην ἔφορον.

Δόξα καὶ νῦν. Προεόρτιον. Ἦχος ὁ αὐτός.

**Α**ἰνέσατε παρθένοι καὶ μητέρες ὑμνήσατε, λαοὶ δοξολογεῖτε, Ἱερεῖς εὐλογήσατε, τὴν ἄχραντον Μητέρα τοῦ Θεοῦ· σαρκὶ γὰρ νηπιάζουσα Ναῷ, τῷ τοῦ Νόμου προσηνέχθη, ὥσπερ ναὸς Κυρίου ἁγιώτατος. Διὸ ἑορτὴν πνευματικήν, τελοῦντες ἀνακράξωμεν· χαῖρε Παρθένε δόξα, τοῦ γένους τῶν ἀνθρώπων.

Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα. Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

**Ὡ**ς ἔαρ γλυκερόν, ἐκ τῆς Μάνδρας εἰσήχθη, ἡ θεία σου εἰκών, ἐν Θερμίων τῇ κώμῃ, ἀθληφόρε ἀνάργυρε, τὸν χειμῶνα σκεδάζουσα, ὃν ἐξήγειρεν ἡ ἐκ τῆς γρίππης νοτία καὶ παρέχουσα ῥῶσιν, γαλήνην καὶ χάριν, τοῖς νόσῳ στενάζουσι.

Δόξα καὶ νῦν. Προεόρτιον. Ἦχος δ’. Ταχὺ προκατάλαβε.

**Δ**αυῒδ προοδοποίησον, ἐν τῷ Ναῷ τοῦ Θεοῦ καὶ χαίρων ὑπόδεξαι τὴν Βασιλίδα ἡμῶν καὶ Ταύτῃ ἐκβόησον. Εἴσελθε ἡ Κυρία, εἰς ναὸν Βασιλέως, εἴσελθε, ἧς ἡ δόξα κεκρυμμένως νοεῖται, ἐξ ἧς μέλι καὶ γάλα μέλλει πηγάσειν, πᾶσι τὸ φῶς ὁ Χριστός.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα τῆς Ἁγίας. Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

**Ἐ**πῆλθες δραστικῶς τῇ εἰκόνι σου κόρη, τὰ σῶστρα τοῖς πιστοῖς ἀνεδέξω τοῦ θύειν, ὡς ἂν ἐκ τῆς μάστιγος, λυτρωθῶσι τοῦ χείρονος· ὅθεν φέροντες τὴν εὐαγῆ σου εἰκόνα καὶ τελέσαντες τὰ πρὸς Θεὸν θεοφρόνως, τῆς νόσου ἐρρύσθησαν.

Δόξα καὶ νῦν. Προεόρτιον. Ἦχος ὁ αὐτός.

**Ἑ**τοίμη εἰς ναὸν εἰσελθεῖν, Θεομῆτορ, χαρὰν πνευματικὴν νηπιόθεν ἐδέχθης, τῆς λύπης ἀντίθετον, καταπίστευμα ἅγιον, ἀνακράξωμεν δοξολογίαν ποιοῦντες, ἀναμένοντες τοῦ Σοῦ νηπίου πληρῶσαι εὐχὴν τῆς ἐλεύσεως.

Οἱ Ἀναβαθμοί, τὸ Α’ Ἀντίφωνον τοῦ δ’ Ἤχου.

**Π**ροκείμενον. Ἦχος δ’. *Δίκαιος ὡς φοῖνιξ ἀνθήσει καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.*

Στίχος. *Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου.*

Πᾶσα πνοὴ, Εὐαγγέλιον τῶν δέκα Παρθένων. (Ἐκ τοῦ κατὰ Ματθαῖον, κεφ. 15, 21-28·«Εἶπεν ὁ Κύριος τὴν παραβολὴν ταύτην· Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν δέκα παρθένοις...»

Ὁ Ν΄ (50) Ψαλμός.

Δόξα. Ταῖς τῆς ἀθληφόρου ...

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

Στίχος. Ἐλέησόν με ὁ Θεός...

Ἰδιόμελον. Ἦχος πλ. β΄.

**Ε**ἰς ταχεῖαν βοήθειαν προσδραμοῦσα, ἀναργύρως ἐδωρήσατο Παρασκευὴ ἡ προστάτις, διὰ τῆς εἰκόνος τῆς Μονῆς αὐτῆς, τὴν ἐκ τῆς ζοφερᾶς γρίππης ἀπαλλαγὴν. Συνωστισμὸς εἰς τάφους διεκόπη τῇ θαυμαστῇ αὐτῆς ἐνεργείᾳ, ἀνανεοῦσα δι΄αὐτῆς τὴν τοῦ Θεοῦ παρουσίαν καὶ

ἐν Θέρμῳ θερμανοῦσα, τὴν ἐκ τῆς μάστιγος ψυχθεῖσαν πόλιν· ὅθεν ἐκχύλισμα ἀκράτου εὐχαριστίας γευσαμένη, μεσιτεύει ἀεὶ τῷ Θεῷ ὑπὲρ ὑγείας τοῖς κάμνουσι καὶ κατατρυχομένοις ἐκ νόσων καὶ θλίψεων.

Εἶτα οἱ Κανόνες. Ὁ προεόρτιος, οὗ ἡ Ἀκροστιχὶς κατὰ ἀλφάβητον μέχρι τῆς ζ΄ᾠδῆς, ποίημα Ἰωσὴφ. Καιὶ τῆς Ἁγίας φέρων ἀκροστιχίδα· *Θέρμον τὰ σῶστρά σοι Παρασκευὴ θύει. Χρήστου.*

## Ὠδὴ α΄. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.

**Δ**ιάρας τὸ στόμα μου, Παρασκευῆς τῆς προστάτιδος, Τριὰς ὑπεράγαθε, ὅπως ὑμνήσω φαιδρῶς, τὰ θαυμάσια, ἐπίλαμψιν αἰτοῦμαι, δι᾽ὧν σῴζει ἅπαντας, νόσων καὶ θλίψεων.

**Ἀ**κούσασα θλίψεων, πάντας προφθάνεις ὡς τάχιστα, ἁγία πανεύφημε, τῶν θλιβομένων δεινῶς καὶ τοῖς κάμνουσι νοσήμασιν ἀτρύτοις, ὑγείαν καὶ λύτρωσιν, νέμεις τερψίθυμον.

**Φ**ωνὴν χαριστήριον, Παρασκευὴ, ἀναμέλπει σοι, τοῦ Θέρμου κωμόπολις, ἀπορρυσθεῖσα ποτέ, τῇ προνοίᾳ σου ἐκ γρίππης βαρυτάτης καὶ χαίρει κηρύττουσα, χάριν τὴν ἄφθονον.

### Θεοτοκίον.

**Ἡ**λίου λαμπρότερος, ὁ ἐκ νηδύος σου Ἥλιος, ἐκ μήτρας ἀνέτειλε, θεογεννῆτορ Ἁγνή, καὶ ἐπλήρωσε χαρᾶς καὶ εὐφροσύνης, τὰ σύμπαντα ἅπαντα, σώσας τὸν ἄνθρωπον.

## Ὠδὴ γ'. Τοὺς σοὺς ὑμνολόγους.

**Τ**ρυχόμενοι νόσῳ πανωλέθρῳ, τοῦ Θέρμου οἱ κάτοικοι ποτέ, Παρασκευὴ, θεινόμενοι σὲ ἰατρὸν ἀνάργυρον, ἐν ἄλγει σε εὑράμενοι, τῆς συμφορᾶς ἀπηλλάγησαν.

**Ἀ**ὴρ μολυνθεὶς ὁ ζωογόνος καὶ πᾶσι τοῖς πνέουσιν αὐτόν, τὸν ὄλεθρον ποιούμενος, τὴν νόσον διεξέτεινεν, ἀλλ᾽ἐκ θανάτου ἥρπασας, Παρασκευὴ, ἀγρυπνήσασα.

**Ἀ**έναον σώτειραν καὶ ῥύστιν καὶ πρύτανιν ἀγαθοποιόν, λαμπρῶς σε ἐπιγράφεται, παγχρύσοις τε τοῖς γράμμασι, τοῦ Θέρμου ἡ κωμόπολις, φυλαττομένη τῇ σκέπῃ σου.

### Θεοτοκίον.

**Ν**ηπίων εἰσόδου καθηκόντως, ἐκ νόμου ἀρχὴν πνευματικήν, προώρισται τὴν ἔνδοξον γευθῆναι καὶ ἀθάνατον, Παρθένε, θείαν τράπεζαν καὶ εὐφροσύνην οὐράνιον.

## Κάθισμα. Ἦχος δ'. Κατεπλάγη Ἰωσὴφ.

**Κ**ηδεμόνα προμηθῆ καὶ σὲ προστάτιν ἐσσαεί, ἡ κωμόπολις ἡμῶν σὲ μακαρίζει πανδημεὶ, ὡς πεποιθυῖά τῇ σκέπῃ σου, Ὁσιομάρτυς· Ἀλλ᾽ἔσωσας ἡμᾶς, ἐκ τῆς ἐκ πάλαι ἀρᾶς, ἐκ θλίψεως δεινῆς διὰ εἰκόνος τῆς σῆς, Παρασκευὴ, καὶ ῥύου ἐκ μαστίγων καὶ λαοφθόρων δεινῶν σου πιστούς. Διὸ ὑμνοῦμεν τῆς χάριτός σου ἔμπυρον μεσιτείαν.

### Δόξα. Καὶ νῦν. Προεόρτιον, ὁ αὐτὸς.

**Ὁ** ναὸς ὁ τοῦ Θεοῦ, ἡ πολυτίμητος παστάς, ἐν τῷ οἴκῳ τοῦ Θεοῦ, μετὰ λαμπάδων φαεινῶν, ἐν εὐφροσύνῃ προέρχεται τοῦ εἰσαχθῆναι· καὶ χαίρει ἐπ' αὐτῇ ὁ Ζαχαρίας ὁρῶν, τὴν δήλωσιν τρανῶς τῶν ἱερῶν Προφητῶν, ἀπαρχομένην ἤδη περαιοῦσθαι καὶ γηθοσύνως βοᾷ πρὸς αὐτήν. Χαρὰν μηνύει, ἡ πρόοδος σου, Κόρη παρθενομῆτορ.

## Ὠδὴ δ'. Τὴν ἀνεξιχνίαστον.

**Τ**ὴν ἀνερμηνεύτως ἐκβάσεις ἡμῖν, χαρμοσύνους ἔνειμε χάριτος, τῆς οὐρανίου· ἡ χριστώνυμος διὸ, Παρασκευὴ, κωμόπολις, εὐχαρίστῳ γλώσσῃ λαμπρύνει σε.

**Τ**οῖς θεοφορήτοις πρεσβείαις ἡμῖν εἰσηγήσω, Μάρτυς, τὴν λύτρωσιν ἐκ τοῦ κινδύνου, καταφέρουσα φθοράν πανδημικῆς ἁλώσεως, ἐκ τῆς ἀσθενείας τῆς μάστιγος.

**Τ**ῆς μεγαλωσύνης σου ἔνθεον νοῦν, οἱ ἐν Θέρμῳ ᾄδουσι σύσσωμοι, εὐλογημένη· εὐσεβεῖς Παρασκευή, οἱ οἰκισταὶ ἀνήγειραν τὸν ναόν σου, πίστει εἰς εὔνοιαν.

### Θεοτοκίον.

**Τ**ὸ κατοικητήριον Μῆτερ Θεοῦ, ἐκ νηπίου ἔμελλες γίγνεσθαι, ἐν τῇ Εἰσόδῳ· Παναγία ἀληθής, ἐν τῇ ζωῇ ἐβάδισας καὶ προσέχεις ἄλγει στενάζοντας.

## Ὠδὴ ε'. Ἐξέστη τὰ σύμπαντα.

**Ἱ**λέῳ σου ὄμματι, ἐπέβλεψας ὡς ἥλιος, οἷα ἀρωγὸς τῶν θλιβομένων, Παρασκευὴ, φθορᾶς ἀπηλλάξω ἡμᾶς καὶ τῇ ἀοράτῳ σου ῥοπῇ, ἀσθενείας ἔπαυσας τὴν ὁρμὴν τὴν ἀκάθεκτον.

**Ἁ**γνῆς τὰ Εἰσόδια, φαιδρῶς προεορτάζοντες, συνεπικροτήσωμεν εὐθύμως, τὴν ἐκ θαυμάτων νεοφανῆ ἑορτὴν τῆς Παρασκευῆς, τῆς σωστικῆς εὐφροσύνως χαίροντες καὶ λαμπρῶς ἑορτάζοντες.

**Ἀ**γάπῃ συνέδραμον, νηστείαν καὶ μετάνοιαν, καθομολογοῦντες τῷ Κυρίῳ, πάλαι τοῦ Θέρμου οἱ οἰκισταὶ ἐν σπουδῇ καὶ ἐν μεταγνώσει ἀληθεῖ, πίστει ἐμφορούμενοι, ἐκ τῆς γρίππης ἐσώθησαν.

### Θεοτοκίον.

**Ῥ**ημάτων ὡς ἤκουσας, τοῦ σοῦ Υἱοῦ Πανάμωμε, ἀποκαλυφθείσης σωτηρίας, εὐηγγελίσω πρώτη παντὸς

γηγενοῦς, τὴν τοῦ Ἅδου λύσιν παντελῆ καὶ Ἀδὰμ τὴν ἔγερσιν καὶ τοῦ κόσμου τὴν λύτρωσιν.

Ὠδὴ στ'. Τὴν θείαν ταύτην.

Παρασκευὴ ἡμᾶς ἔσωσας, τῆς γρίππης τὴν μανίαν καθήλωσας, ταχὺ τὸ πρότερον· οὕτω καὶ νῦν ἐπιφάνηθι καὶ πᾶσαν εὐπραγίαν, ἡμῖν πρυτάνευσον.

Ἁγιαστήριον ἔνθεον καὶ στήλην εὐσεβείας περίδοξον, Θέρμου οἱ κάτοικοι Μονὴν λαμπράν σοι ἀνήγειραν, κοινῶς, Παρασκευὴ, σοὶ δεήσεις πέμπουσι.

Μεγαλωσύνην καὶ αἴνεσιν, ἐν πράξεσιν εὐλάβειαν ἔχοντες, εὐσήμως ᾄσωμεν Παρασκευῇ προσευχόμενοι, εὐγνωμοσύνης φόρον ταύτῃ προσφέροντες.

Θεοτοκίον.

**Π**λήρης φωτὸς ὑπὲρ ἔννοιαν, ἡ Εἴσοδος Παρθένε ἡτοίμασε, ζωῆς τὴν ἔκλαμψιν καὶ αἰωνίαν ἀπόλαυσιν, θανάτου τῆς φθορᾶς ἀπήλλαξας, Δέσποινα.

Κοντάκιον. Προεόρτιον. Ἦχος δ'. Ἐπεφάνης σήμερον.

**Ε**ὐφροσύνης σήμερον ἡ οἰκουμένη, ἐπληρώθη ἅπασα, ἐν τῇ εὐσήμῳ Ἑορτῇ τῆς Θεοτόκου, κραυγάζουσα· Αὕτη ὑπάρχει, σκηνὴ ἐπουράνιος.

Τῆς Ἁγίας. Ἦχος πλ. δ'. Τῇ Ὑπερμάχῳ. (Ἱερομ. Ἀθανασίου Σιμωνοπετρίτου).

Σεπτὴν εἰκόνα προσκυνοῦντές σου, χριστόαθλε Παρασκευὴ, καθικετεύομεν οἱ δοῦλοί σου, ἀπὸ πάσης περιστάσεως σκέπε Θέρμον, ἐκδιώκουσα τὰς νόσους ταῖς πρεσβείαις σου καὶ τὰ νέφη τῶν παθῶν καταπραΰνουσα, ὅπως μέλπωμεν· χαίροις Μάρτυς ἀοίδιμε.

Ὁ Οἶκος.

Ῥωσθεῖσα χάριτος θαυμάτων ζωοδόχων, μέμνησο τῶν ἐκτελού-ντων τὴν ἁγίαν λιτήν σου καὶ συνελθόντων ἔνδον τῆς Μονῆς σου· ἐν τῷ ναῷ γὰρ παρεστῶτες, ἱκετεύομεν ἔμπροσθεν τῆς εἰκόνος σου διὰ τῶν ὕμνων καὶ μεγαλοφώνως τιμῶμέν σε·

Χαῖρε, σωστικὴ τοῦ Θέρμου παρουσία· χαῖρε θεϊκῆς προνοίας κατοικία.

Χαῖρε, τῆς Μονῆς σου ἐν Μάνδρᾳ ὑπέρμαχος· χαῖρε τῶν νοσούντων εὐεργέτις ἐξαίρετος.

Χαῖρε ἰαμάτων ἀφθόνων ποτήριον· χαῖρε τοῦ Χριστοῦ φωτεινὸν ἱλαστήριον.

Χαῖρε δι᾽ ἧς γέμει εὐφροσύνης ὁ λαός, χαῖρε δι᾽ ἧς πληροῦται ἡ κωμόπολις φωτός.

Χαῖρε τοῦ ἐλέους ἡ σεμνὴ προμηθεία, χαῖρε τῶν θλιβομένων θερμὴ παραμυθία.

Χαίροις Μάρτυς ἀοίδιμε.

Τῇ 20ῃ τοῦ αὐτοῦ μηνός ἀνάμνησιν ἐπιτελοῦμεν τοῦ ὑπερφυοῦς θαύματος τῆς Ἁγίας καί Ἐνδόξου Ὁσιοπαρθενομάρτυρος Παρασκευῆς, ἀπαλλαγῆς ἐκ τῆς θανατηφόρου γρίππης, ἐν ἔτει 1918.

Στίχοι.

Παρασκευή, Θεῷ τὸ θράσος ἔχουσα,<br>
γρίππης ἀπαλλαγὴν δεικνύει τάχει.<br>
Πανωλεθρίαν ἡ σὴ πρεσβεία, Ἀθληφόρε,<br>
τῇ γρίππῃ κατειργάσατο ἐν Θέρμῳ.

Τῆς Ἁγίας ἡ εἰκὼν λιτανευθεῖσα εἰς Θέρμον καὶ τὴν περίοικον, πεζῇ ἀπὸ τῆς ἐν Μάνδρᾳ Μονῆς αὐτῆς, ἐν Νοεμβρίῳ εἰκοστῇ, 1918 ἔτει ,συνέτεινεν εἰς τὴν πλήρη ἀπαλλαγὴν ἐκ τῆς πανδημίας γρίππης ὥστε, ἐνῶ πρότερον

ἐπὶ τρεῖς μῆνας ἀπέθνησκον ἐξ αὐτῆς 2-12 ἀσθενεῖς καθ᾽ἡμέραν, ἀπό τῆς λιτανεύσεως διεκόπησαν παντελῶς τὰ θανατηφόρα περιστατικά, ἀλλὰ καὶ οἱ προσευχόμενοι ἐν τῇ θέᾳ τῆς εἰκόνος ἀσθενεῖς ἐθεραπεύοντο.

**Α**ὐτῆς ἁγίαις πρεσβείαις Χριστέ ὁ Θεός, ἐλέησον και σῶσον ἡμᾶς, Ἀμήν.

## Ὠδὴ ζ'. Οὐκ ἐλάτρευσαν.

**Λ**ιτανεύοντες εἰκόνα σου πανσέβαστον, τῇ εὐδοκίᾳ σου, Παρασκευὴ ἀγαθή, τὸ Θέρμον ἐκράτυνας, ὡς πλοῦτος ἄσυλος καὶ ἀκένωτον, τῇ πρὸς ἡμᾶς ἀρρήτου σου, συμπαθείας χορηγεῖον.

**Σ**υνθλιβόμενοι τοῦ Θέρμου οἱ οἰκήτορες καὶ ἀποθνήσκοντες, τῇ ἐκ τῆς γρίππης πληγῇ, τὸν ἄωρον θάνατον ὀξὺν ἀκέστορα, παρ'ἐλπίδα σε ἐφεύραντο, Πανεύφημε, καὶ ἐρρύσθησαν τῆς νόσου.

**Ὑ**δατόρρυτος νεφέλη ἀναψύχουσα, ἡ σὴ ἐπίσκεψις ὤφθη τῷ Θέρμῳ ποτέ, τῆς γρίππης τὴν πάμβορον φλόγα σβεννύουσα καὶ δροσίζουσα, τοὺς χαλεπῶς πυρέσσοντας, τῇ τῆς νόσου ἐπιτάσει.

### Θεοτοκίον.

**Ἀ**ναμένεται ἡ Εἴσοδος, Πανάμωμε, ὡς καλλιέρημα τοῦ Ζωοδότου Θεοῦ, προνοίας ἐπίτευγμα καὶ ἐλατήριον τῶν τιμώντων σε, μετάνοιαν ποιήσασθαι τῆς Ἁγίας τῇ ὠθήσει.

## Ὠδὴ η'. Ἄκουε Κόρη.

**Ε**ἶδον σε ὄψει ἁγία, Σεμνή, ἐλθοῦσα γὰρ Παρασκευὴ ἐν τῇ εἰκόνι σου, πάντες οἱ γηγενεῖς οἰκήτορες, εὐσεβείας δυνάμει Θεοῦ, Κυρίῳ ἐλιτάνευον πανάξιόν σου σκήνωμα, ἐν κατανύξει πολλῇ· τὴν ὑγείαν, δὸς ἡμῖν ἔχουσα ὦτα ἐγκύπτοντα.

**Γ**νῶσιν ποικίλων θαυμάτων ἡμεῖς λαβόντες, ἐν τῷ τῆς εἰκόνος σου ὁράματι, πάντες οἱ ἀσθενεῖς, ἐν σώματι ἐκτελοῦμεν θείαν βουλήν καὶ ὡς ἰατρεῖον ἄμισθον, τῆς γρίππης καθαρτήριον, ἐπιστασίαν τὴν σὴν, ἐξυμνοῦμεν, φύλαξ τῶν δίψῃ ζητούντων τὸν Κύριον.

**Ῥ**ῶσιν προχέει πιστοῖς σου πηγή , ναός σου, Παρασκευή, κόσμημα πολύτιμον, ἤγειραν ἱερόν οἰκήτορες ἐξ ἀγάπης Θέρμου πιστοί, ὡς τῶν θαυμασίων μέγα στηλογράφημα σωτήριον· συναθροισθέντες αὐτῷ, ἀνυμνοῦμεν, Μάρτυς, τὴν χάριν λυτρώσεως μάστιγος.

**Ἔ**ρρηξας φύσεως νόμον, Σεμνή, ἐν Θέρμῳ, Παρασκευή, γρίππην κατενίκησας, νόσον ὀδυνηράν καὶ λύτρωσιν ἐκομίσω ἰσχύϊ Χριστοῦ, ὡς τῶν ἰαμάτων ἔδειξας φιλόστοργον τὴν κλῆσίν σου· ἀποκριθεῖσα πιστοῖς, τῶν βασάνων, Μάρτυς, καθεῖλες τῆς νόσου ἐπίθεσιν.

Θεοτοκίον.

**Ἄ**φατος, Κόρη, χαρὰ καὶ τρυφή καὶ χάρις εἰσοδικῶς ἄρχεται λυτρώσεως, νήπιον ἱερόν, εἰς σύμπαντα δαψιλῶς ἀξίως βροτοῖς, τῆς παλινζωίας λίκνον ζωοδώρητον ἐπέρχεται, τριετιζούσης Ναῷ· Πλατυτέρα σῶσον λαόν Σου ἐκ θλίψεων ἅπαντα.

## Ὠδή θ'. Ἅπας γηγενής.

**Σ**κέπη ἀσφαλής καὶ φύλαξ σωτήριος καὶ διαγνώσασα, τῇ βουλῇ τοῦ κρείττονος, τῆς γρίππης πάθος κίνδυνον ἐπώδυνον· Παρασκευὴ, ταχύπτερον πρὸς ἡμᾶς πρόνοιαν, δι' ἧς σῴζεις πάντας πάσης θλίψεως, ἀνυμνοῦμεν, Χριστὸν μεγαλύνοντες.

**Ἴ**δε εὐμενῶς, εὐσπλάγχνῳ σου βλέμματι, ὡς ἀκεσώδυνος, τοὺς ἐν τῷ τεμένει σου, ἀθροιζομένους καὶ ἐξαιτοῦντάς σε καὶ πᾶσι τὰ σωτήρια δίδου αἰτήματα, ἐν

ἀγάπῃ κυβερνῶσα, Ἔνδοξε, τὴν παροῦσαν σεπτὴν κληρουχίαν σου.

**Μ**νήμην ἱεράν, εἰς δόξαν καὶ αἴνεσιν τῶν θαυμασίων σου, συγκροτοῦντες σήμερον, Παρασκευὴ, σὺν Χριστῷ γηθόμενοι, ἐν τῷ σεπτῷ τεμένει σου πάντες συνήλθομεν, οἱ ἐν τῷ Θέρμῳ, πόθῳ ἐκβοῶντές σοι· χαῖρε Θέρμου θεόσδοτε ἔφορε.

Θεοτοκίον.

**Ὕ**δωρ ζωηρόν, πρὸς δόξαν ἁλλόμενον τὴν ὑπερκόσμιον, πότισόν με Ἄχραντε, τὸν ἐν τῇ δίψῃ παθῶν τηκόμενον· μὴ οὖν παρίδῃς δέομαι τὴν ἱκεσίαν μου· εἰ γὰρ Κόρη καὶ πολλὰ ἐξήμαρτον, ἀλλ᾽ἐκ Σοῦ τὰς ἐλπίδας μου ἤρτησα.

Ἐξαποστειλάριον τῆς Ἁγίας. Ἦχος γ’. Ὁ οὐρανὸν τοῖς ἄστροις.

Ἡ τῶν Θερμίων προστάτις καὶ ἀρωγὸς θεοειδής, πάσης ἀνάγκης καὶ λύπης καὶ ἀσθενείας βλαπτικῆς, ἀπήμονας ἡμᾶς τήρει, Παρασκευὴ θεοφόρε.

Προεόρτιον. Τοῖς Μαθηταῖς συνέλθωμεν.

Θεοῦ σοφίας τέμενος καὶ ὑπέρτερον θρόνον, τῶν Χερουβὶμ ὑπάρχουσαν, τὴν ἁγνὴν Θεοτόκον, εὐτρέπισον Ζαχαρία, τοῦ ναοῦ τὰς εἰσόδους, τὰ τῶν Ἁγίων Ἅγια, ὑποδέξασθαι Ταύτην· καὶ σὺν ἡμῖν ᾆδε προεόρτιον τῇ Παρθένῳ, ἐξ ἧς Χριστὸς ὁ Κύριος, σαρκωθεὶς κόσμον σῴζει.

Εἰς τοὺς Αἴνους ἱστῶμεν στίχους η᾽ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια τῆς Ἁγίας τά ἑπόμενα δ᾽.

Ἦχος α᾽. Πανεύφημοι μάρτυρες.

**Τ**ὸ Θέρμον εὐφραίνου πανδημεί, ὅτι ἐν σοὶ κέκτησαι, ὡς θησαυρὸν ἀναφαίρετον, τὴν χαριτόβρυτον καὶ σεπτὴν εἰκόνα, τῆς ὁσιομάρτυρος καὶ θείας Παρασκευῆς τῆς

σώστιδος, δι᾽ ἧς λελύτρωσαι τῆς πικρᾶς πάλαι χειρώσεως, νῦν δὲ πάσης ἐναντίας μάστιγος.

**Ε**ὐσήμῳ ἡμέρᾳ ἑορτῆς, ὅτι χαρᾶς εἴσοδος τῆς κορασίδος συνάξωμεν, μνήμην ἑόρτιον τῶν πολλῶν θαυμάτων τῆς ὁσιομάρτυρος Παρασκευῆς τῆς θείας, συνήλθομεν ἐν Θέρμῳ σήμερον· ὅτι φύλαξ ἀπροσμάχητος ἡμῖν ὤφθη, ἰατρός τε καὶ ἄριστος.

**Λ**ιτῇ τῆς εἰκόνος σου, Σεμνή, θαυμαστῶς διέσωσας κώμην ἐκ γρίππης καὶ λύτρωσιν ἡμῖν ἐπέφερες, ἀναιροῦσα θλίψιν καὶ φλόγας σβεννύουσα, Παρασκευὴ ὁσία πανύμνητε, τοῦ Θέρμου σκέπαστρον· ὅθεν, Μάρτυς ἀκατάβλητε, ἡμᾶς ῥύου προδήλου κακώσεως.

Ὁσία καὶ Μάρτυς τοῦ Χριστοῦ καὶ σκεῦος πολύτιμον, Παρασκευὴ θεοδόξαστε, τοῦ θείου Πνεύματος, τοὺς φαιδρῶς τελοῦντας τὴν ἐκ γρίππης λύτρωσιν, κινδύνων πολυτρόπων ἀπάλλαττε καὶ αἴτει πάντοτε, τῶν πταισμάτων τὴν συγχώρησιν, τοῖς τιμῶσι τοὺς λαμπροὺς ἀγῶνας σου.

Δόξα. Ἦχος πλ. β.᾽

**Χ**ειμῶνος ποτὲ νοητοῦ ἐνσκήψαντος τῷ Θέρμῳ, τῇ ἐντάσει τῆς γρίππης, οἶκοι ἠρημοῦντο καὶ τάφοι ἐπληροῦντο καὶ τὰ πάντα τῇ θλίψει συνείχοντο· ἀλλ᾽ἐπιφανεῖσα ἡ ταχεῖά σου ἀντίληψις, ὁσιομάρτυς Ἀθληφόρε, τὰ ἐκ τῆς νόσου δεινά ἐκποδὼν ἐποίησεν· ὅθεν τὴν ἀνάμνησιν ἄγοντες τῆς ἐξαισίου θαυματοποιΐας σου, ἐν τῇ σεπτῇ Μονῇ σου συνήλθομεν, ἱκετικῶς βοῶντές σοι· ὡς πάλαι προφθάσασα διέσωσας ἡμᾶς, οὕτω καὶ νῦν μὴ παύσῃ, Παρασκευή, προνοεῖν ἡμῶν, τῶν σὲ προστάτιν θερμὴν κεκτημένων.

Καὶ νῦν. Προεόρτιον. Ἦχος α’. Γεωργίου Νικομηδείας.

**Ἀ**γαλλιάσθω σήμερον ὁ οὐρανὸς ἄνωθεν καὶ αἱ νεφέλαι εὐφροσύνην ῥανάτωσαν, ἐπὶ τὰ λίαν παράδοξα μεγαλεῖα τοῦ Θεοῦ ἡμῶν· ἰδοὺ γὰρ ἡ πύλη, ἡ κατὰ Ἀνατολάς βλέπουσα,

ἀποκυηθεῖσα ἐκ στείρας ἀκάρπου ἐξ ἐπαγγελίας καὶ τῷ Θεῷ ἀφιερωθεῖσα εἰς κατοίκησιν, σήμερον ἐν τῷ Ναῷ, ὡς ἄμωμος προσφορὰ προσάγεται· ἀγαλλιάσθω ὁ Δαυῒδ κρούων τὴν κινύραν· ἀπενεχθήσονται φησὶ τῷ Βασιλεῖ παρθένοι ὀπίσω αὐτῆς, αἱ πλησίον αὐτῆς ἀπενεχθήσονται, ἔσω ἐν τῇ σκηνῇ τοῦ Θεοῦ, ἔνδον τοῦ ἱλαστηρίου Αὐτοῦ, ἀνατραφῆναι εἰς κατοίκησιν, τοῦ πρὸ αἰώνων ἐκ Πατρὸς ἀρρεύστως γεννηθέντος, εἰς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.

**Εἰς τὴν Λειτουργίαν**

Τὰ συνήθη. Ἀπόστολος καὶ Εὐαγγέλιον τῆς Ἁγίας (ζήτει τῇ 26η Ἰουλίου)

Μεγαλυνάρια (Ἱερομονάχου Ἀθανασίου Σιμωνοπετρίτου).

**Ἐ**πιδεῖξαι θέλουσα ἐφ’ ἡμᾶς τὴν συμπάθειάν σου, ἀθληφόρε Παρασκευή, ὅθεν καὶ δακρύεις καὶ γρίππην φυγαδεύεις καὶ πάντα θεραπεύεις ἡμῶν νοσήματα.

**Θ**έρμην τῆς ἀγάπης σου πρὸς Χριστόν, δὸς τοῖς σοῖς ἱκέταις, ἀθληφόρε Παρασκευή, πόθῳ προσκυνοῦσι σὴν πάνσεπτον εἰκόνα καὶ λύσιν αἰτουμένοις πάσης κακώσεως.

**Φ**ύλαττε πρεσβείαις σου πρὸς Χριστόν, ἐκ κακοῦ θανάτου καὶ ὀργῆς θεομηνιῶν, Θέρμον σοῦ δοξάζον Παρασκευὴ τὴν μνήμην καὶ προσκυνοῦν μορφήν σου, θαυματοβλύζουσαν.

Κοινωνικόν. *Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος.*

Δίστιχον·

Παρασκευὴ πρόσδεξαι τοῦτον τὸν ὕμνον,
ὅν σοι Χρῆστος εἰσήνεγκεν ἄρτι.


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ